12. *Τῆς δὲ πρὸς τὸν Καίσαρα διαφορᾶς ἀποκαλυπτομένης καὶ Μαρκελλίνου τινὸς τῶν ὑπὸ Πομπηίου προῆχθαι δοκούντων μεταβεβλημένου δὲ πρὸς Καίσαρα πολλὰ πρὸς αὐτὸν ἐν συγκλήτῳ λέγοντος, 'οὐκ αἰσχύνῃ, Μαρκελλῖνε,' εἶπεν 'ἐμοὶ λοιδορούμενος, δι' ὃν ἐξ ἀφώνου λόγιος ἐκ δὲ πεινατικοῦ ἐμετικὸς γέγονας;'*

13. *Πρὸς δὲ Κάτωνα πικρῶς καθαψάμενον, ὅτι πολλάκις* D *αὐτοῦ προαγορεύοντος τὴν Καίσαρος δύναμιν καὶ αὔξησιν οὐκ ἐπ' ἀγαθῷ τῆς δημοκρατίας γινομένην ἀντέπραττεν αὐτός, ἀπεκρίνατο 'τὰ μὲν σὰ μαντικώτερα, τὰ δ' ἐμὰ φιλικώτερα.'*

14. *Περὶ δὲ αὑτοῦ παρρησιαζόμενος εἶπεν, ὡς πᾶσαν ἀρχὴν καὶ ἔλαβε θᾶσσον ἢ προσεδόκησε καὶ κατέθετο θᾶσσον ἢ προσεδοκήθη.*

15. *Μετὰ δὲ τὴν ἐν Φαρσάλῳ μάχην φεύγων εἰς Αἴγυπτον, ὡς ἔμελλε διαβαίνειν ἐκ τῆς τριήρους εἰς ἁλιευτικὸν πλοῖον ἀποστείλαντος τοῦ βασιλέως, ἐπιστραφεὶς πρὸς τὴν γυναῖκα καὶ τὸν υἱὸν οὐδὲν ἕτερον ἢ τὸ τοῦ Σοφοκλέους εἶπεν* (frg. 789 N.²)

> *'ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται,* E
> *κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ.'*

*μεταβὰς δὲ καὶ πληγεὶς ξίφει καὶ στενάξας ἅπαξ, εἰπὼν δὲ μηδὲν ἀλλ' ἐγκαλυψάμενος παρέδωκεν ἑαυτόν.*

## ΚΙΚΕΡΩΝ

1. *Κικέρων ὁ ῥήτωρ εἰς τοὔνομα σκωπτόμενος καὶ τῶν φίλων μεταθέσθαι κελευόντων ἔφη τὸν Κικέρωνα ποιή-*